𝔊 μαλωσίας τῆς Ιουδαίας, [11]καὶ εἶπε τῷ βασιλεῖ Ὁ ἄνθρωπος 11
ἐπιστήμων ἦν καὶ σοφὸς καὶ ὑπερέχων πάντας τοὺς σοφοὺς Βα-
βυλῶνος, [12]καὶ πνεῦμα ἅγιον ἐν αὐτῷ ἐστι, καὶ ἐν ταῖς ἡμέραις 12
τοῦ πατρός σου τοῦ βασιλέως συγκρίματα ὑπέρογκα ὑπέδειξε
Ναβουχοδονοσορ τῷ πατρί σου. [13]τότε Δανιηλ εἰσήχθη πρὸς τὸν 13
βασιλέα, καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπεν αὐτῷ [16]Ὦ Δανιηλ, δύνῃ 16
μοι ὑποδεῖξαι τὸ σύγκριμα τῆς γραφῆς; καὶ στολιῶ σε πορφύραν
καὶ μανιάκην χρυσοῦν περιθήσω σοι, καὶ ἕξεις ἐξουσίαν τοῦ τρίτου
μέρους τῆς βασιλείας μου. [17]τότε Δανιηλ ἔστη κατέναντι τῆς γρα- 17
φῆς καὶ ἀνέγνω καὶ οὕτως ἀπεκρίθη τῷ βασιλεῖ Αὕτη ἡ γραφή
Ἠρίθμηται, κατελογίσθη, ἐξῆρται· καὶ ἔστη ἡ γράψασα χείρ. καὶ

17 cf. 𝔐 17 + 25

---

θ′ καὶ ἡ μορφή σου μὴ ἀλλοιούσθω· [11]ἔστιν ἀνὴρ ἐν τῇ βασιλείᾳ 11
σου, ἐν ᾧ πνεῦμα θεοῦ, καὶ ἐν ταῖς ἡμέραις τοῦ πατρός σου γρη-
γόρησις καὶ σύνεσις εὑρέθη ἐν αὐτῷ, καὶ ὁ βασιλεὺς Ναβουχοδο-
νοσορ ὁ πατήρ σου ἄρχοντα ἐπαοιδῶν, μάγων, Χαλδαίων, γαζα-
ρηνῶν κατέστησεν αὐτόν, [12]ὅτι πνεῦμα περισσὸν ἐν αὐτῷ καὶ 12
φρόνησις καὶ σύνεσις, συγκρίνων ἐνύπνια καὶ ἀναγγέλλων κρατού-
μενα καὶ λύων συνδέσμους, Δανιηλ καὶ ὁ βασιλεὺς ἐπέθηκεν αὐτῷ
ὄνομα Βαλτασαρ· νῦν οὖν κληθήτω, καὶ τὴν σύγκρισιν αὐτοῦ
ἀναγγελεῖ σοι. [13]τότε Δανιηλ εἰσήχθη ἐνώπιον τοῦ βασιλέως, καὶ 13
εἶπεν ὁ βασιλεὺς τῷ Δανιηλ Σὺ εἶ Δανιηλ ὁ ἀπὸ τῶν υἱῶν τῆς
αἰχμαλωσίας τῆς Ιουδαίας, ἧς ἤγαγεν ὁ βασιλεὺς ὁ πατήρ μου;
[14]ἤκουσα περὶ σοῦ ὅτι πνεῦμα θεοῦ ἐν σοί, καὶ γρηγόρησις καὶ 14
σύνεσις καὶ σοφία περισσὴ εὑρέθη ἐν σοί. [15]καὶ νῦν εἰσῆλθον 15
ἐνώπιόν μου οἱ σοφοί, μάγοι, γαζαρηνοί, ἵνα τὴν γραφὴν ταύτην
ἀναγνῶσιν καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσωσίν μοι, καὶ οὐκ ἠ-
δυνήθησαν ἀναγγεῖλαί μοι. [16]καὶ ἐγὼ ἤκουσα περὶ σοῦ ὅτι δύνα- 16
σαι κρίματα συγκρῖναι· νῦν οὖν ἐὰν δυνηθῇς τὴν γραφὴν ἀναγνῶ-
ναι καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσαι μοι, πορφύραν ἐνδύσῃ, καὶ
ὁ μανιάκης ὁ χρυσοῦς ἔσται ἐπὶ τὸν τράχηλόν σου, καὶ τρίτος ἐν
τῇ βασιλείᾳ μου ἄρξεις. [17]τότε ἀπεκρίθη Δανιηλ καὶ εἶπεν ἐνώπιον 17
τοῦ βασιλέως Τὰ δόματά σου σοὶ ἔστω, καὶ τὴν δωρεὰν τῆς οἰ-
κίας σου ἑτέρῳ δός· ἐγὼ δὲ τὴν γραφὴν ἀναγνώσομαι τῷ βασι-

11 πνευμα θεου (cf. 14)] + αγιον A: cf. 𝔐 et 4 8.9.18 | fin.] + ο πατηρ σου ο βασιλευς A = 𝔐 || 12 συνεσις] + εν αυτω ABc(†) || 14 και συνεσις > B*† || 15 ταυτην > A†: cf. 16 || 16 δυνασαι] pr. συ A† | συγκριναι] -νειν A | γραφην] + ταυτην A: cf. 15 | γνωρισαι] -σης B | επι τον τραχηλον] επι τω -λω B(†), περι τον -λον A: cf. 7 || 17 τοτε απεκρ. δαν. και ειπεν] και ειπεν > A†, και ειπεν δαν. B | σοι 1°] pr. συν A | τω βασιλει > B

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/909 UNIVERSITÄT LEIPZIG